E08.14 Aichylos‘ Perser – 3. Stasimon 852-930

Χορός *852*	**Χορός** *858*	
ὦ πόποι ἦ μεγάλας ἀγαθᾶς τε πο-	πρῶτα μὲν εὐδοκίμους στρατιὰς ἀπε-	da
λισσονόμου βιοτᾶς ἐπεκύρσαμεν,	φαινόμεθ’, ἠδὲ νομίσματα πύργινα	da
εὖθ’ ὁ γηραιὸς	πάντ’ ἐπηύθυνε,	cr sp
πανταρκὴς ἀκάκας ἄμαχος βασι-	νόστοι δ’ ἐκ πολέμων ἀπόνους ἀπα-	da
λεὺς ἰσόθεος Δα-	θεῖς ⏑⏑ [ἀνέρας] εὖ πράσ-	da
ρεῖος ἆρχε χώρας.	σοντας ἆγον οἴκους.	cr bac
Χορός *864*	**Χορός** *871*	
ὅσσας δ’ εἶλε πόλεις πόρον οὐ δια-	λίμνας τ’ ἔκτοθεν αἰ κατὰ χέρσον ἐ-	da
βὰς Ἅλυος ποταμοῖο,	ληλαμέναι πέρι πύργον	da
οὐδ’ ἀφ’ ἑστίας συθείς,	τοῦδ’ ἄνακτος ἄιον,	cr ia
οἷαι Στρυμονίου πελάγους Ἀχε-	Ἕλλας τ’ ἀμφὶ πόρον πλατὺν εὐχόμε-	da
λωίδες εἰσὶ πάροικοι	ναι, μυχία τε Προποντίς,	da
Θρηκίων ἐπαύλεις,	καὶ στόμωμα Πόντου·	cr bac
Χορός *879*	**Χορός** *888*	
ναῒ σοί θ’ αἳ κατὰ	καὶ τὰς ἀγχιά-	da
πρῶν’ ἅλιον περίκλυστοι	λους ἐκράτυνε μεσάκτους,	da
τᾷδε γᾷ προσήμεναι	Λῆμνον, Ἰκάρου θ’ ἕδος,	cr ia
οἵα Λέσβος ἐ-	καὶ Ῥόδον ἠδὲ Κνί-	da
λαιόφυτός τε Σάμος, Χίος ἠδὲ Πά-	δον Κυπρίας τε πόλεις, Πάφον, δὲ Σό-	da
ρος, Νάξος, Μύκο-	λους, Σαλαμῖνά τε,	da
νος, Τήνῳ τε συνάπτουσ’	τᾶς νῦν ματρόπολις τῶνδ’	da
Ἄνδρος ἀγχιγείτων,	αἰτία στεναγμῶν.	cr bac

Χορός *898*

καὶ τὰς εὐκτεάνους κατὰ κλῆρον Ἰ-	da
αόνιον πολυάνδρους	da
Ἑλλάνων ἐκράτει σφετέραις φρεσίν.	da
ἀκάματον δὲ παρῆν σθένος ἀνδρῶν	da
τευχηστήρων	da
παμμίκτων τ’ ἐπικούρων.	da
νῦν δ’ οὐκ ἀμφιλόγως θεότρεπτα τάδ’	da
αὖ φέρομεν πολέμοισι	da
δμαθέντες μεγάλως πλα-	da
γαῖσι ποντίαισιν.	cr bac

Ξέρξης *909*

ἰώ,

δύστηνος ἐγὼ στυγερᾶς μοίρας	an	κόσμου τ’ ἀνδρῶν,
τῆσδε κυρήσας ἀτεκμαρτοτάτης,		οὓς νῦν δαίμων ἐπέκειρεν.
ὡς ὠμοφρόνως δαίμων ἐνέβη		γᾶ δ’ αἰάζει τὰν ἐγγαίαν
Περσῶν γενεᾷ· τί πάθω τλήμων;		ἦβαν Ξέρξᾳ κταμέναν Ἅιδου
λέλυται γὰρ ἐμοὶ γυίων ῥώμη		σάκτορι Περσᾶν. ᾀδοβάται γὰρ
τήνδ’ ἡλικίαν ἐσιδόντ’ ἀστῶν.		πολλοὶ φῶτες, χώρας ἄνθος,
εἴθ’ ὄφελεν, Ζεῦ, κἀμὲ μετ’ ἀνδρῶν		τοξοδάμαντες, πάνυ ταρφύς τις
τῶν οἰχομένων		μυριὰς ἀνδρῶν, ἐξέφθιναι.
θανάτου κατὰ μοῖρα καλύψαι.		αἰαῖ αἰαῖ κεδνᾶς ἀλκᾶς.
Χορός *918*		Ἀσία δὲ χθών, βασιλεῦ γαίας,
ὀτοτοῖ, βασιλεῦ, στρατιᾶς ἀγαθῆς		αἰνῶς αἰνῶς
καὶ περσονόμου τιμῆς μεγάλης,		ἐπὶ γόνυ κέκλιται.